ἐπίστασθε ὅτι Ἐργοκλῆς χρηματιούμενος ἀλλ' οὐ πρὸς ὑμᾶς φιλοτιμησόμενος ἐξέπλευσε, καὶ οὐδεὶς ἄλλος ἔχει τὰ χρήματα ἢ οὗτος. ἐὰν οὖν σωφρονῆτε, τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε.

30.

## | ΚΑΤΑ ΝΙΚΟΜΑΧΟΥ [ΓΡΑΜΜΑΤΕΩΣ ΕΥΘΥΝΩΝ ΚΑΤΗΓΟΡΙΑ].

Ἤδη, ὦ ἄνδρες δικασταί, τινὲς εἰς κρίσιν καταστάν- 1
τες ἀδικεῖν μὲν ἔδοξαν, ἀποφαίνοντες δὲ τὰς τῶν προ-
γόνων ἀρετὰς καὶ τὰς σφετέρας αὐτῶν εὐεργεσίας συγ-
γνώμης ἔτυχον παρ' ὑμῶν. ἐπειδὴ τοίνυν καὶ τῶν ἀπο-
λογουμένων ἀποδέχεσθε, ἐάν τι ἀγαθὸν φαίνωνται τὴν
πόλιν πεποιηκότες, ἄξιον καὶ τῶν κατηγόρων ὑμᾶς ἀκροά-
σασθαι, ἐὰν ἀποφαίνωσι τοὺς φεύγοντας πάλαι πονη-
ροὺς ὄντας. ὅτι μὲν τοίνυν ὁ πατὴρ ὁ Νικομάχου δημό- 2
σιος ἦν, καὶ οἷα νέος ὢν οὗτος ἐπετήδευσε, καὶ ὅσα ἔτη
γεγονὼς εἰς τοὺς φράτερας εἰσήχθη, πολὺ ἂν ἔργον εἴη
λέγειν· ἐπειδὴ δὲ τῶν νόμων ἀναγραφεὺς ἐγένετο, τίς
οὐκ οἶδεν οἷα τὴν πόλιν ἐλυμήνατο; προσταχθὲν γὰρ
αὐτῷ τεττάρων μηνῶν ἀναγράψαι τοὺς νόμους τοὺς Σό-
λωνος, ἀντὶ μὲν Σόλωνος αὐτὸν νομοθέτην κατέστησεν,
ἀντὶ δὲ τεττάρων μηνῶν ἑξέτη τὴν ἀρχὴν ἐποιήσατο,
καθ' ἑκάστην δὲ ἡμέραν ἀργύριον λαμβάνων τοὺς μὲν
ἐνέγραφε τοὺς δὲ ἐξήλειφεν. εἰς τοῦτο δὲ κατέστημεν 3
ὥστε ἐκ τῆς τούτου χειρὸς ἐταμιευόμεθα τοὺς νόμους·
καὶ οἱ ἀντίδικοι ἐπὶ τοῖς δικαστηρίοις ἐναντίους παρεί-
χοντο, ἀμφότεροι παρὰ Νικομάχου φάσκοντες εἰληφέναι.
ἐπιβαλλόντων δὲ τῶν ἀρχόντων ἐπιβολὰς καὶ εἰσαγόν-
των εἰς τὸ δικαστήριον οὐκ ἠθέλησε παραδοῦναι τοὺς
νόμους· ἀλλὰ πρότερον ἡ πόλις εἰς τὰς μεγίστας συμ-